μήτηρ Πέλοπος. ὄνομα δὲ αὐτῇ Ἠώς. καὶ αὕτη ἐκ τῶν αὐτῆς χρημάτων εἰκόνα ποιησαμένη χρυσῆν ἐνέθετο. σὺν τοῖς χρήμασι γοῦν καὶ Φρίξον, καὶ Ἕλλην ὁ Κριὸς ἐν ταύτῃ ἐνθεὶς, ᾤχετο ἀπιών. ἡ μὲν οὖν Ἕλλη κατὰ τὸν πλοῦν ἀσθενήσασα, ἀπέθανεν. ἐξ ἧς καὶ Ἑλλήσποντος ἐκλήθη. αὐτοὶ δὲ ἀφικόμενοι εἰς τοὺς Κόλχους κατοικοῦσιν ἐκεῖ, καὶ γαμεῖ Φρίξος τὴν τοῦ τῶν Κόλχων βασιλέως θυγατέρα Αἰήτου, δοὺς ἕδνα τούτῳ τὴν χρυσῆν εἰκόνα τῆς Ἠοῦς, ἀλλ' οὐχὶ δέρμα κριοῦ. οὕτως ἡ ἀλήθεια ἔχει.

Κεφ. λβ.

## ΠΕΡΙ ΤΩΝ ΤΟΥ ΦΟΡΚΥΝΟΣ ΘΥΓΑΤΕΡΩΝ.

Καὶ περὶ τούτων πολὺ γελοιότερος φέρεται λόγος, ὡς ὁ Φόρκυν εἶχε θυγατέρας τρεῖς, αἵτινες ἕνα ὀφθαλμὸν ἔχουσαι, ἀνὰ

μέρος

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id367476452/53 gefördert von der Deutschen Forschungsgemeinschaft DFG